# TEZAUR LITURGIC

## 24 AUGUST

ANTONIOS MARKOU

# SLUJBA SF.CUVIOS ARISTOCLE AMBROSIEV DE LA MOSCOVA

ATENA,2021


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 24 Αὐγούστου

# Ἀκολουθία
# Ὁσίου ΑΡΙΣΤΟΚΛΕΟΥΣ τοῦ Ἀθωνίτου

## Ποίημα Ἀντώνιος Μάρκου

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Ἱστῶμεν στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος α'. Τῶν οὐρανίων Ταγμάτων.

Ἄριστον κλέος τοῦ Ἄθω,* Πάτερ Ἀρίστοκλες,* γενόμενος ἀσκήσει* ἠκολούθησας χαίρων,* Χριστόν τόν Ζωοδότην πιστῶς, τόν Θεόν,* διά κόπων ἀσκήσεως·* διό πλουσίων ἠξίωσαι δωρεῶν* ἐκ τοῦ μόνου Ἐλεήμονος.

Σύ τά φθειρόμενα κόσμου* πόθῳ παρέδραμες* Ἀγγέλων πολιτείας* ἐκζητήσας, ἐν Ἄθω* τῷ Ῥώσων κοινοβίῳ οἰκήσας, σεπτέ,* δι' ἀσκήσεως ἔφθασας* εἰς ἀρετῆς ὕψος μέγα· διό τά νῦν* ἐν τῷ πόλῳ ἐπαγάλλεσαι.

Τάς ἐπικήρους φροντίδας, ἀπαρνησάμενος,*μετά συζύγου πότμον,* ἐσταυρώθης τῷ κόσμῳ,* Ἀρίστοκλες θεόφρον, καί τοῦ Φωτός* ἐπληρώθης τῆς χάριτος·* δι' οὗ μελλόντων τήν ἔκβασιν προορῶν* τοῖς πιστοῖς ἐπληροφόρησας.

Ἐν τῷ τοῦ Ἄθωνος ὄρει,* σεπτέ Ἀρίστοκλες,* ἀσκήσας θεοφρόνως* Ῥωσικῷ ἐν σεμνείῳ,* τῷ τοῦ Παντελεήμονος, πίστει θερμῇ* τόν Χριστόν ηὐηρέστησας,* ἀγγελικὴν πολιτείαν ἐπί τῆς γῆς* μετά σώματος ἑλόμενος.

Δόξα. Ἦχος β΄.

Ὡς ἐπιποθεῖ ἡ ἔλαφος ἐπί τάς πηγάς τῶν ὑδάτων,* ὡς φησί ὁ Προφητάναξ,* οὕτως σύ ἐπεπόθησας τήν τῆς ζωῆς Πηγήν,* Χριστόν τόν Ζωοδότην,* Ἀρίστοκλες Ὅσιε·* διό καί ἔσπευσας ἐν τῷ Ἄθωνι* τοῦ πιεῖν ἐκ τῶν ἐκεῖσε πνευματικῶν ὑδάτων,* τῶν πλουσίως ἐκχεομένων ἐκ τῆς θεοσδότου τῶν μοναστῶν παραδόσεως·* εἶτα εἰς Μόσχαν ἐνδιατρίψας,* μέγας Γέρων αὐτῆς ἀνεδείχθης* καί πηγή θαυμάτων καί ἰάσεων, προφητείας καί προοράσεως.* Ὅθεν ἡμᾶς τούς τιμῶντας τήν μνήμην σου* ἐκ τῶν τοῦ ἐχθροῦ παγίδων περίσωζε,* θεοπειθέσι πρεσβείαις σου, Ὅσιε.

Καί νῦν. Θεοτοκίον.

Τήν πᾶσαν ἐλπίδα μου* εἰς Σέ ἀνατίθημι,* Μῆτερ τοῦ Θεοῦ,* φύλαξόν με ὑπό τήν  σκέπην Σου.

Εἰς τόν  Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Χαῖρε μήτηρ ἐν γῇ,* σεπτοῦ Ἀριστοκλέους,* καλλίγονος Ῥωσία,* ἡ ἀναδειξαμένη* αὐτόν πρέσβυν πρός Κύριον.

Στ. *Μακάριος ἀνήρ ὁ φοβούμενος τόν  Κύριον.*

Ἐν Μόσχᾳ τῇ κλεινῇ* Γέρων αὐτῆς ἐδείχθης* ἀσκήσεσι ποικίλαις,* δι' ὧν τοῦ Παρακλήτου* τήν χάριν σοί ἐφείλκυσας.

Στ. *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Προεῖδες τήν φρικτήν* ἀθέων δυναστείαν* ἐπί Ῥωσίαν, Πάτερ,* καθώς καί Γερμανίας* εἰς δύο τήν κατάτμησιν.

Δόξα. Τριαδικόν.

Ὑπέρθεε Τριάς,* Πάτερ, Υἱέ καί Πνεῦμα,* πρεσβείαις τοῦ Ὁσίου* Ἀριστοκλέους δίδου* ἡμῖν χάριν τήν σώζουσαν.

Καί νῦν. Θεοτοκίον.

Κυρία τοῦ παντός,* τοῦ Βλαδιμήρ ἡ δόξα,* τῆς Μόσχας ἡ προστάτις,* ἐλπίς Ἀριστοκλέους,* τόν κόσμον Σου ἐλέησον.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος α'. Τοῦ λίθου σφραγισθέντος.

Γόνον θεῖον Ῥωσίας, Ὀρθοδόξων τό καύχημα,* τῶν ἐν Ἄθω τό κλέος,* τό τῆς Μόσχας θησαύρισμα,* τιμῶμεν τόν σεπτόν Ἀριστοκλήν,* χαρίτων οἱ πλουτοῦντες τῶν αὐτοῦ* κραυγάζοντες πρός Κύριον·* δόξα τῷ Σέ δοξάσαντι αὐτόν,* δόξα Σοί τόν αὐτόν θαυμαστώσαντα,*

δόξα Σοί τῷ δωρησαμένῳ αὐτόν ἡμῖν* νέον πρέσβυν ἀκοίμητον.

Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου Σοι Παρθένε τό χαῖρε,* σύν τῇ φωνῇ ἐσαρκοῦτο* ὁ τῶν ὅλων Δεσπότης,* ἐν Σοί τῇ ἁγίᾳ κιβωτῷ,* ὡς ἔφη ὁ δίκαιος Δαβίδ·* ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν* βαστάσασα τόν Κτίστην Σου.* Δόξα τῷ ἐνοικήσαντι ἐν Σοί,* δόξα τῷ προελθόντι ἐκ Σοῦ,* δόξα τῷ ἐλευθευρώσαντι ἡμᾶς* διά τοῦ τόκου Σου.

Ἀπόλυσις.

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ Προοιμιακός καί τό Μακάριος ἀνήρ. Εἰς δέ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄ καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Ὅτε, τῷ καλοῦντί σε Θεῷ,* Ὅσιε, ζεούσῃ καρδίᾳ* κατηκολούθησας,* τότε κόσμου ἔλειπες τήν ματαιότητα* καί δρομαῖος ἐχώρησας* πρός θείους ἀγῶνας·* τοῦ Παντελεήμονος Μονήν δέ ᾤκησας,* ἔνθα τήν καρδίαν καθάρας,* γέγονας δοχεῖον χαρ ίτων* καί τῶν δωρεῶν, Ἀρίστοκλες, τοῦ Πνεύματος.

Ἡ Παντελεήμονος Μονή,* γέγονεν ἡ σή κατοικία,* ἔνθα ἠξίωσαι,* πᾶσαν τοῦ ἀλάστορος βαλεῖν τήν δύναμιν* καί δοχεῖον τοῦ Πνεύματος* ἐγένου καί πάντων* ἱερόν παράδειγμα ἐδείχθης, Ἅγιε·* ὅθεν Ὀρθοδόξων τά πλήθη* χαίροντα κραυγάζουσι, Πάτερ·* πρόφθασον πρεσβείαις σου, Ἀρίστοκλες.

Ἔνθεος ἐδείχθης μιμητής* τῶν σῶν ἐξαιρέτων προτύπων* Ἀθωνιτῶν μοναχῶν,* τῶν καί διδασκάλων σου* ἐν Ἀναργύρου Μονῇ,* ὧν τήν χάριν ἐκέκτησο* καί τούτων τήν θέαν* ἀπολαύεις σήμερον* ἐν οὐρανοῖς παροικῶν·* ὅθεν σοῦ δεόμεθα, Πάτερ,* τῆς τοῦ Παραδείσου εὐκλείας,* τυχεῖν ἡμᾶς εὐχαῖς σου καί δεήσεσιν.

Ἕτερα. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Πᾶσαν κακοπάθειαν* διά Χριστόν ὑπομείνας,* ἐν τῷ κοινοβίῳ μέν* καί εἰς πόλιν Μόσχαν δέ* τήν βασίλειον,* Πατήρ ὁ θειότατος,* ὁ Χριστοῦ Ὅσιος,* πρός Θεόν ὅτε ἐξεδήμησε* τρυφήν τήν ἄληκτον* ἐν τῷ Παραδείσῳ πεπλούτηκε·* διό καί μετά θάνατον* θείας εὐωδίας ἠξίωται,* τοῦ αὐτοῦ λειψάνου·* ἰᾶται δέ τούς κύπτοντας αὐτῷ* καί τῷ Σωτῆρι πρεσβεύει νῦν* ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Ὅλος ἐνθεώτατος* καί θεοφόρος ἐδείχθης,* Ἀρίστοκλες Ὅσιε,* σεαυτόν τῷ Κτίστῃ σου

ἀναθέμενος·* διό πολλῶν μέτοχος* θείων χαρισμάτων,* σαρκικόν νεκρώσας φρόνημα,* καθάπερ Ἄγγελος,* ἠξίωσαι ἐν κόσμῳ, μακάριε·* ἐντεῦθεν Ὀρθοδόξων σε* δῆμοι ὑποφήτην θεόσοφον,* βίου ἀνωτέρου* κτησάμενοι καί τύπον ἀπλανῆ,* χρεωστικῶς ἑορτάζομεν* τήν ἁγίαν μνήμην σου

Φῶς τό θεῖον Ὅσιε* ἀπό παιδός, θεοφόρε,* καταλάμψαν ἔδειξεν* ἄστρον φαεινότατον βίου κρείττονος·* ἀρετῶν ὤφθης γάρ* θαυμαστός ἐργάτης,* τῶν γηΐνων ἀφιστάμενος* πόνοις ἀσκήσεως* καί πρός οὐρανόν ἀνυψούμενος,* ἐκεῖθεν ταῖς ἐκλάμψεσι* πάντας καταυγάζων ἑκάστοτε,* Ἀρίστοκλες Πάτερ,* Ὁσίων ἐγκαλλώπισμα σεπτόν* καί τῶν Ἀγγέλων ἐφάμιλλε* βίου καθαρότητι.

Δόξα. Ἦχος πλ. δ΄.

Ἀσκήσεως πόνοις ἐκγυμνασάμενος,* ἀληθῶς ὅσιος ἐγένου* καί ποιμήν ἀληθής* τοῦ εὐσεβοῦντος λαοῦ·* ἐπιπνοίᾳ δέ τοῦ Πνεύματος,* Ἀρίστοκλες μακάριε,* τῆς πολυκόσμου Μόσχας ἐγένου οἰκιστής,* ἔνθα τόν τοῦ Κυρίου λαόν* θαύμασι καί σημείοις καί προφητείαις διηκόνησας.* Πρός Δεσπότην οὖν τόν Σωτῆρα * μή παύεις αἰτούμεθα* τοῦ πρεσβεύειν, Πάτερ,* ἵνα ῥύσηται ἡμᾶς πάσης θλίψεως.

Καί νῦν. Θεοτοκίον.

Τίς μή μακαρίσει Σε, Παναγία Παρθένε;* Τίς μή ἀνυμνήσει Σου τόν ἀλόχευτον τόκον;* Ὁ γάρ ἀχρόνως ἐκ Πατρός ἐκλάμψας Υἱός μονογενής,* ὁ Αὐτός ἐκ Σοῦ τῆς Ἁγνῆς προῆλθεν* ἀφράστως σαρκωθείς,* φύσει Θεός ὑπάρχων* καί φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς·* οὐκ εἰς δυάδα προσώπων τεμνόμενος,* ἀλλ' ἐν δυάδι φύσεων ἀσυγχύτως γνωριζόμενος.* Αὐτόν ἱκέτευε,* σεμνή Παμμακάριστε,* ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

Εἴσοδος, Φῶς ἱλαρόν, Προκείμενον τῆς ἡμέρας, Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. γ' 1 - 9).

Δικαίων ψυχαί ἐν χειρί Θεοῦ καί οὐ μή ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καί ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καί ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καί γάρ ἐν ὄψει ἀνθρώπων ἐάν κολασθῶσιν, ἡ ἐλπίς αὐτῶν ἀθανασίας πλήρης. Καί ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεός ἐπείρασεν αὐτούς καί εὗρεν αὐτούς ἀξίους Ἑαυτοῦ· ὡς χρυσόν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς καί ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καί ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσιν καί ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καί κρατήσουσι λαῶν καί βασιλεύσει αὐτῶν Κύριος εἰς τούς αἰῶνας. Οἱ πεποιθότες ἐπ' Αὐτῷ, συνήσουσιν ἀλήθειαν καί οἱ πιστοί ἐν ἀγάπῃ προσμενοῦσιν Αὐτῷ· ὅτι χάρις καί

ἔλεος ἐν τοῖς Ὁσίοις Αὐτοῦ καί ἐπισκοπή ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ.ε΄15- στ΄3).

Δίκαιοι εἰς τόν αἰῶνα ζῶσι καί ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν παρά Ὑψίστου. Διά τοῦτο λήψονται τό βασίλειον τῆς εὐπρεπείας καί τό διάδημα τοῦ κάλλους ἐκ χειρός Κυρίου· ὅτι τῇ δεξιᾷ Αὐτοῦ σκεπάσει αὐτούς καί τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τόν ζῆλον Αὐτοῦ καί ὁπλοποιήσει τήν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην καί περιθήσεται κόρυθα, κρῖσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δέ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει δέ Αὐτῷ ὁ κόσμος ἐπί τούς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καί ὡς ἀπό εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπί σκοπόν ἁλοῦνται καί ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι· ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοί δέ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καί ὡς λαίλαψ ἐκλικμήσει αὐτούς καί ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καί σύνετε· μάθετε δικασταί περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καί οἱ γεγαυρωμένοι ἐπί ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρά Κυρίου ἡ κράτησις ὑμῖν καί ἡ δυναστεία παρά Ὑψίστου.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. ζ'7-15).

Δίκαιος, ἐάν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γάρ τίμιον, οὐ τό πολυχρόνιον, οὐδέ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιά δέ ἐστι φρόνησις ἀνθρώποις καί ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καί ζῶν μεταξύ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μή κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχήν αὐτοῦ· βασκανία γάρ φαυλότητος ἀμαυροῖ τά καλά καί ῥεμβασμός ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθείς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστή γάρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διά τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δέ λαοί ἰδόντες καί μή νοήσαντες, μηδέ θέντες ἐπί διανοίᾳ τό τοιοῦτον, ὅτι χάρις καί ἔλεος ἐν τοῖς Ὁσίοις Αὐτοῦ καί ἐπισκοπή ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

### Εἰς τήν Λιτήν, Ἰδιόμελα.

### Ἦχος α'.

Εὐφραίνου ἐν Κυρίῳ* Ῥωσία ἁγιοτόκε,* ὡς μήτηρ καλλίγονος* ἐπί τῷ θείῳ τέκνῳ σου εὐφραινομένη·* ἐκ σοῦ γάρ ἐβλάστησεν* ὁ εἰς ἔπαινον προκείμενος σήμερον,* Ἀριστοκλής ὁ τῆς Μόσχας μέγας Γέρων.* Οὗτος γάρ* ἐν τῇ τοῦ Παντελεήμονος Μονῇ ἀγωνισάμενος,* τῇ ἀσκήσει τῶν μοναστῶν* τόν χορόν ἐκόσμησεν.*

Αὐτοῦ οὖν τήν μνήμην ἑορτάζοντες,* εὐφροσύνως πρός Κύριον* τόν Θεόν ἐκβοῶμεν·* τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Σου ἐθαυμάστωσας Χριστέ,* ὧν τάς ἱκεσίας δέχου, Πολυέλεε.

Ἦχος β΄.

Ἐν τοῖς Ἁγίοις αὐτῆς καυχᾶται* Ῥωσία ἡ Ἁγία ,* ἡ Ἀνδρέου τοῦ Ἀποστόλου* Ἐκκλησία καί κλῆρος.* Ἐν τοῖς ἐσχάτοις δέ καιροῖς* καυχᾶται ἐπί Ἀριστο κλεῖ* τῷ τῆς Μόσχας μεγάλῳ Γέροντι,* ὅστις ἐν τῷ Ἄθῳ μαθητεύσας,* ἐν τῇ τοῦ Ἀναργύρου Μονῇ,* ἔλαβε ἐκ τῶν ἐκεῖσε Πατέρων* τήν οὐρανοδρόμον αὐτῶν παράδοσιν.* Αὐτοῖς οὖν ἐκβοήσωμεν πιστοί·* Κύριον τόν Θεόν Πατέρες ἱκετεύσατε,* ἵνα ἀπαλλάττῃ πειρασμῶν καί κινδύνων* τούς πίστει τελοῦντας* Ἀριστοκλέους τά μνημόσυνα.

Ἦχος γ΄.

Δεῦτε συμφώνως οἱ πιστοί,* τόν τοῦ Χριστοῦ ἄρνα* καί τοῦ ποιμνίου Αὐτοῦ* τόν Ποιμένα τόν γλυκύν,* Ἀριστοκλῆν τόν τῆς Μόσχας μεγάλον Γέροντα,* ᾄσμασιν ἐγκωμίων καταστέψωμεν,* ὡς ἀγωνισάμενον ὑπέρ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας,* τήν πίστιν τε τηρήσαντα,* τόν δρόμον τῆς ὁμολογίας τελέσαντα* καί ἑαυτόν ἀναλώσαντα* ἐν τῷ Μυστηρίῳ τῆς σωτηρίας.* Αὐτῷ οὖν βοήσωμεν·* πρέσβευε,

Πάτερ, ἀπαύστως,* σύν τοῖς ἀπ’ αἰῶνος Ἁγίοις,* λυτρωθῆναι ἐκ κινδύνων καί παθῶν,* αἱρέσεων καί πάσης πλάνης,* τούς ἐν πίστει τιμῶντας,* τήν θείαν μνήμην σου.

Δόξα. Ὁ αὐτός.

Ἀσκητικῆς ἐραστής* γενόμενος πολιτείας,* ἀσκητικῶν ἀγώνων* τῷ σταδίῳ διέπρεψας,* διά νηστείας τε καί ἀγρυπνίας* καί προσευχῆς ἀ διαλείπτου* καί παννυχίου στάσεως, Πατήρ ἡμῶν Ὅσιε,* δι’ ὧν τά πάθη ἐνέκρωσας* καί δοχεῖον ἐγένου τοῦ Πνεύματος.* Ὅθεν, Ἀρίστοκλες μακάριε,* σύν πᾶσι τοῖς ἐν Ῥωσίᾳ διαλάμψασι Ἁγίοις,* τόν Κύριον ἱκετεύσατε,* λαβεῖν εὐχαῖς ὑμῶν καί πρεσβείαις,* παρ’ Αὐτοῦ τό μέγα ἔλεος.

Καί νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων τούς δούλους Σου φύλαττε,* εὐλογημένη Θεοτόκε,* ἵνα Σέ δοξάζομεν* τήν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Εἰς τόν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις,* ἡ τῶν Ὁσίων λαμπάς,* τῶν ἀρετῶν τό καθαρόν καταγώγιον,* ἀστήρ ὁ τῇ φωταυγίᾳ* καθοδηγῶν πρός τό Φῶς* καί ζωῆς τῆς θείας τήν λαμπρότητα·* Ἀρίστοκλες κάλλιστε,* μοναστῶν

ἀκροθίνιον,* ἐν τοῖς ἐσχάτοις* προφητείας ὁ ἔμπλεως·* θείου Πνεύματος* τό εὐάρμοστον ὄργανον·* λύχνε τῆς διακρίσεως,* σοφίας κειμήλιον,* ἀσκητικῆς πολιτείας* ὁ θεοφόρος διδάσκαλος·* Χριστόν ἐκδυσώπει,* ταῖς ψυχαῖς ἡμῶν δοθῆναι* τό μέγα ἔλεος.

Στ. *Καυχήσονται Ὅσιοι ἐν δόξῃ καί ἀγαλλιάσονται ἐπί τῶν κοιτῶν αὐτῶν.*

Χαίροις,* ὁ τῆς Ῥωσίας βλαστός,* τό τῆς ἀσκήσεως φαιδρόν ἐγκαλλώπισμα,* τοῦ Ἄθω ἡ εὐκοσμία,* ὁ καθαιρέτης ἐχθροῦ,* ὁ στερρῶς ἀσκήσας ὥσπερ ἄσαρκος·* Ἀρίστοκλες ἔνδοξε,* εὐσεβῶν ἀγαλλίαμα,* Εὐαγγελίου* κλῆμα ὄντως τό εὔφορον,* προβαλλόμενον* διά πόνων ἀσκήσεως,* βότρυας ἀποστάζοντας* τό γλεῦκος τῆς χάριτος* καί ἀμβροσίας τό νέκταρ* πιστῶν εὐφραῖνον τό πλήρωμα·* Χριστόν ἐκδυσώπει* ταῖς ψυχαῖς ἡμῶν δοθῆναι* τό μέγα ἔλεος.

Στ. *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Χαίροις,* Ἁγίου Ὄρους υἱέ,* ὁ τῶν Ἀγγέλων κοινωνός καί συνόμιλος,* Ὁσίων ὁ συμπολίτης,* ὡς ἐν ἀσκήσει σκληρᾷ* ἀρετῶν ἐμπρέψας βίῳ κρείττονι·* Πατέρων ὁμότιμε,* ὡς αὐτῶν ἰσοστάσιος* ἐν τῇ ἀσκήσει* ἀναδειχθείς, ἣν ἐξήσκησας* είς πάντα βίον,* διά πόθον τόν ἔνθεον·* Ἀρίστοκλες θειότατε,* Χριστοῦ φίλε γνήσιε,* ὁ ἀφ’ ἡμῶν ἀπελαύνων* πᾶσαν

ἐχθροῦ τήν ἐπήρειαν* καί πᾶσι πρεσβεύων* ἱλασμόν ἡμῖν δοθῆναι* καί θεῖον ἔλεος.

Δόξα. Ἦχος β΄.

Τῶν ἐν βίῳ πραγμάτων κατεφρόνησας,* Ἀρίστοκλες Πάτερ,* τῆς Μόσχας μεγάλε Γέρον,* ὅτε τήν ἄνω Πολιτείαν ἐπεπόθησας·* πλοῦτον γάρ ἐβδελύξω* τήν πτωχείαν ἐνδυσάμενος·* τήν τρυφήν ἐμίσησας* καί ἐπεσπάσω ἐγκράτειαν·* ἀδικίαν ἀπεβάλου* καί ἐδίωξας δικαιοσύνην.* Διό μνημόνευε καί ἡμῶν* ἐν ταῖς πρός τόν Κύριον ὁσίαις σου εὐχαῖς,* Πάτερ ὁσιώτατε.

Καί νῦν. Θεοτοκίον.

Τήν πᾶσαν ἐλπίδα μου* εἰς Σέ ἀνατίθημι,* Μῆτερ τοῦ Θεοῦ,* φύλαξόν με ὑπὸ τήν σκέπην Σου.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

Γόνον θεῖον Ῥωσίας,* Ὀρθοδόξων τό καύχημα,* τῶν ἐν Ἄθω τό κλέος,* τό τῆς Μόσχας θησαύρισμα,* τιμῶμεν τόν σεπτόν Ἀριστοκλῆν,* χαρίτων οἱ πλουτοῦντες τῶν αὐτοῦ* κραυγάζοντες πρός Κύριον·* δόξα τῷ Σέ δοξάσαντι αὐτόν,* δόξα Σοί τόν αὐτόν θαυμαστώσαντα,*
δόξα Σοί τῷ δωρησαμένῳ αὐτόν ἡμῖν*
νέον πρέσβυν ἀκοίμητον.

Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου Σοι Παρθένε τὸ χαῖρε,* σὺν τῇ φωνῇ ἐσαρκοῦτο* ὁ τῶν ὅλων Δεσπότης,* ἐν Σοὶ τῇ ἁγίᾳ κιβωτῷ,* ὡς ἔφη ὁ δίκαιος Δαβίδ·* ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν* βαστάσασα τὸν Κτίστην Σου.* Δόξα τῷ ἐνοικήσαντι ἐν Σοί,* δόξα τῷ προελθόντι ἐκ Σοῦ,* δόξα τῷ ἐλευθευρώσαντι ἡμᾶς* διὰ τοῦ τόκου Σου.

Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τόν τάφον Σου, Σωτήρ.

Ἀστήρ ὡς φαεινός * ἐκ τῆς Ῥωσίας ἐκλάμψας,* φωτί τῶν ἀρετῶν,* θαύμασι καί σημείοις,* φωτίζεις τήν ὑφήλιον* ἐξαιρέτως τήν Μόσχαν δέ,* συγκαλούμενος* ἐπί τῇ θείᾳ σου μνήμῃ* εἰς παν ήγυριν,* τούς σέ τιμῶντας ἐκ πόθου* πιστούς, Ὁσιώτατε.

Δόξα. Καί νῦν. Θεοτοκίον.

Ἁγνή ἡ τόν Θεόν* πάντων τεκοῦσα, τό κλέος* ἡμῶν τῶν εὐσεβῶν* ἡ χαρά καί ἡ δόξα,* μή παύῃς δεόμεθα* ἱκετεύειν Ὅν ἔτεκες,* ἵνα ῥύσηται* ἡμᾶς παθῶν ψυχοφθόρων* καί δωρίσηται* ζωῆς ἀ λήκτου τόν τόπον,* πρεσβείαις Σου, Πάνσεμνε.

Μετά τήν β΄ Στιχολογίαν, Κάθισμα. Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ σταυρῷ.

Μόσχας ὁ μέγας καί σεβάσμιος Γέρων,* ὁ τῆς Ῥωσίας εὐκλεέστατος γόνος,* παρά Χριστοῦ πολλήν τήν χάριν ἔλαβεν,* Ὁσίων ἐγκαλλώπισμα,* ὑπόδειγμα μοναστῶν τε* ἀναδέδεικται.* Πάντας οὖν νῦν προσκαλεῖται*
μνήμην τελέσαι τήν αὐτοῦ·
οὗ ταῖς λιταῖς* σκέπε καί σῶζε* τούς ὑμνούντας Σε, Κύριε.

Δόξα. Καί νῦν. Θεοτοκίον.

Χαῖρε Κυρία, Ἀειπάρθενε Κόρη,* δαιμόνων φρύαγμα, ἀνθρώπων θεῖος λιμήν τε,* οἱ τοῦ Χριστοῦ ἐνθέως ἀνυμνοῦμεν Σε.* Σπεῦσον, Μῆτερ, πρόφθασον,* τῇ μεσιτείᾳ Σου σῶσον,* πάντας
τούς προστρέχοντας* τῇ παναχράντῳ Σου σκέπῃ·* ἀπό κινδύνων ῥῦσαι χαλεπῶν* τούς Σέ τιμῶντας,* Παρθένε ἀκήρατε.

Μετά τόν Πολυέλεον, Κάθισμα. Ἦχος πλ. α΄. Τόν συνάναρχον Λόγον.

Τῇ ἀσκήσει τὸν βίον σου κατεκόσμησας* καί νεκρώσας τό σῶμά σου ἐξηφάνισας* τοῦ Βελίαρ προσβολάς,* Πάτερ Ἀρίστοκλες·* διό μεσίτης πρός Θεόν,* ὡς οὐρανίου τῆς ζωῆς* ὁ ἔνθεος

κληρονόμος,* μή παύσῃ, Πάτερ, πρεσβεύων,* ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Τῆς σαρκός τῇ προσλήψει ἐκ Σοῦ ὁ Ὕψιστος* ὁρατός καθωράθη ἡμῖν δι’ ἔλεος* καί τήν πτῶσιν τοῦ Ἀδάμ,* Ἁγνά, ἠνώρθωσε·* διά τοῦτο οἱ πιστοί,* ἀνυμνοῦμέν Σε ἀεί,* ὡς πύλην ζωῆς τῆς θείας* καί εἴσοδον σωτηρίας,* τοῖς μεγαλύνουσιν τόν τόκον Σου.

Οἱ Ἀναβαθμοί· τό α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον. *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ. *Μακάριος ἀνήρ ὁ φοβούμενος τόν Κύριον.*

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον (Κεφ. ια΄ 27-30).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· πάντα μοι παρεδόθη ὑπό τοῦ Πατρός μου· καί οὐδείς ἐπιγινώσκει τόν Υἱόν εἰ μή ὁ Πατήρ· οὐδέ τόν Πατέρα τις ἐπιγινώσκει εἰ μή ὁ Υἱὸς καί ᾧ ἐάν βούληται ὁ Υἱός ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καί πεφορτισμένοι, κἀγώ ἀναπαύσω ὑμᾶς. Ἄρατε τόν ζυγόν μου ἐφ’ ὑμᾶς καί μάθετε ἀπ’ ἐμοῦ, ὅτι πρᾶός εἰμι καί ταπεινός τῇ καρδίᾳ καί εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γάρ ζυγός μου χρηστός καί τό φορτίον μου ἐλαφρόν ἐστιν.

Ὁ Ν΄ (50) Ψαλμός.

Δόξα. Ταῖς τοῦ Σοῦ Ὁσίου...

Καί νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος β΄. Στ. *Ἐλέησόν με, ὁ Θεός...*

Τά ἐπί γῆς ἀπαρνηθείς τερπνά* τά οὐράνια Ἀρίστοκλες ἐδέξω* παρά Χριστοῦ τοῦ Θεοῦ,* ὡς γέρα τῶν πόνων σου·* ὅτι ἐν καθαρᾷ καρδίᾳ καί ταπεινώσει πολλῇ* ἐπολιτεύθης ὁσίως* καί μιμητής τῶν Ἀγγέλων ἐγένου τῶν ἁγίων·* διό Χριστοῦ τῷ θρόνῳ ἐν πόλῳ παριστάμενος* καί τήν Αὐτοῦ λαμπρότητα καθορῶν,* πρέσβευε δεόμεθα* ὑπέρ τῶν κηρυττόντων τήν μνήμην σου.

Εἶτα οἱ Κανόνες· τῆς Θεοτόκου καί τοῦ Ἁγίου, δοξαστικός καί ἐν ταυτῷ ἱκετευτικός, οὗ ἡ ἀκροστιχίς ἐν τοῖς Θεοτοκίοις· *ΑΝΤΩΝΙΟΥ.*

Ὠδή α΄. Ἦχος πλ. δ΄. Ὑγράν διοδεύσας.

Χάρισαί μοι λόγον, Τριάς σεπτή,* λιταῖς τοῦ ἁγίου* Λειτουργοῦ Σου καί φωτισμόν,* ἵνα δυνηθῶ τοῦ ἀνυμνῆσαι,* τά κατ' ἐχθροῦ αὐτοῦ ἔνδοξα τρόπαια.

Ἄνθος εὐωδέστατον τοῦ Σταυροῦ,* κρῖνον ἐκβλαστήσαν* ἐν τῆς Ῥωσίας ἁγίᾳ γῇ,* ῥόδον εὐωδέστατον καί ἴον* τῇ Ἐκκλησίᾳ ἐδείχθης, Ἀρίστοκλες.

Δόξα.

Ἀγάπης τόν ἔμπλεον, ἀδελφοί,* ὑμνήσωμεν ὕμνοις* θεαρέστοις καί τήν αὐτοῦ* τιμήσωμεν μνήμην εὐφροσύνως,* ὡς θεαρέστως ἐν κόσμῳ βιώσαντος.

Καί νῦν. Θεοτοκίον.

Ἄνασσα Κόρη, ὑπερφυῶς,* τέτοκας τόν Λόγον* ὁμοούσιον τῷ Πατρί* καί Πνεύματι ἅμα· διό πάντες,* ὡς Θεοτόκον ἀεί μακαρίζομεν.

Ὠδή γ΄. Οὐρανίας ἁψίδος.

Ῥίψας πάντα διά φόβον* τόν τοῦ Θεοῦ Ἅγιε,* πάσας τῆς σαρκὸς τάς ὀρέξεις καταπεπάτηκας* καί βίον ἔνθεον* ἐπί τῆς γῆς διανύσας,* τῆς τρυφῆς ἠξίωσαι* τῆς ὑπέρ ἔννοιαν.

Ἐμπαθείας νικήσας* τούς λογισμούς, Ἅγιε,* πράος καί ἀκέραιος ὤφθης* καί πλήρης χάριτος,* παιδεύων τέκνα σου* πρός ἐπιδόσεις ἁγίας* καί παραμυθῶν αὐτά,* θεῖε Ἀρίστοκλες.

Δόξα.

Ὅλως ἡγιασμένος,* ὅλως θεόπτης ἐφάνης,* Πάτερ Ἀρίστοκλες,* ἐν γῇ λάθρα βιώσας* Ἀγγέλων οὐρανίων* τήν βιοτήν ζηλωσάμενος·* καί γέγονας τοῖς ἐν τῇ γῇ* θείων Ἀγγέλων εἰκών τε ἡ ἔνσαρκος.

Καί νῦν. Θεοτοκίον.

Νεκρωθέντα με, Μῆτερ,* ταῖς τοῦ Βελίαρ προσκρούσεσι,* ζώωσον δεινῶς νεκρωθεῖσαν* τοῖς

παραπτώμασι,* Παρθένε Ἄχραντε,* τήν παναθλίαν ψυχήν μου* καί ταύτην συνέτισον* φόβῳ τοῦ Κτίσαντος.

Κάθισμα. Ἦχος γ΄. Τήν ὡραιότητα.

Τήν ματαιότητα* κόσμου ἐμίσησας* καί τά οὐράνια* κάλλη ἐπόθησας,* τά τῆς σαρκός πάθη διό* ἀσκήσει ἀπενέκρωσας,* ἔνδοξε Ἀρίστοκλες,* τῶν Ἀγγέλων συνόμιλε·* ὅθεν καί ἰάσεων,* ῥεῖθρα βρύεις τοῖς πίστει σοῦ* τήν μνήμην ἐκτελοῦσι τήν θείαν,* Πάτερ, Ἁγίων συμπολῖτα.

ᾨδή δ΄. Εἰσακήκοα Κύριε.

Πάτερ θεῖε ἐπάκουσον,* λύτρωσαι κινδύνων τούς σέ γεραίροντας* καί τιμῶντάς σου τά λείψανα,* ὅπως σέ ἀπαύστως μακαρίζομεν.

Ἀνυμνῶ σε, πανεύφημε,* διό νενεκρωμένην ψυχήν μου ζώωσον* καί ἀνάστησον πρεσβείαις σου,* ἐραστά Κυρίου, πανσεβάσμιε.

Δόξα.

Βαρυνθέντας τοῖς πάθεσι,* ὡς ἔχων παρρησίαν Πάτερ δεήθητι,* τοῖς ὑμνοῦσί σε δωρήσασθαι,* τῶν πλημμελημάτων τήν συγχώρησιν.

Καί νῦν. Θεοτοκίον.

Τῆς Μητρός Σου δεήσεσι* καί Ἀριστοκλέους Κύριε δώρησαι,* τοῖς ἱκέταις Σου τήν ἄφεσιν* τῶν πλημμελημάτων, Ὑπεράγαθε.

Ὠδή ε΄. Φώτισον ἡμᾶς.

Βοήθησον ἡμῖν* τῇ πρεσβείᾳ σου, Ἀρίστοκλες,* ὡς ἐλέους τοῦ Κυρίου χορηγός,* τῆς Ῥωσίας τῆς Ἁγίας ἴον εὔοσμον.

Γνῶσιν
τοῦ Θεοῦ* ταῖς εὐχαῖς σου ἡμῖν δώρησαι,*
τοῦ Βελίαρ καταργῶν τάς προσβολάς,* ὁ τῆς Μόσχας μέγας Γέρων, Πάτερ Ἅγιε.

Δόξα.

Δέχου τούς πιστούς,* τούς λειψάνῳ σου προστρέχοντας,* θεῖε Πάτερ, καί αἰτουμένους παρά σοῦ* ἀσθενείας ἐξ ἁπάσης νῦν τήν ἴασιν.

Καί νῦν. Θεοτοκίον.

Ὡράϊσόν με, Ἁγνή,* ταῖς ἀκτῖσι τοῦ προσώπου Σου,* τό καθαρόν Χριστοῦ παλάτιον* καί καθορᾶν με τῆς μορφῆς Αὐτοῦ ἀξίωσον.

Ὠδή στ΄. Τήν δέησιν ἐκχεῶ.

Τόν λύσαντα* τήν ἁμαρτίαν τοῦ κόσμου* καί ἐν Κρανίῳ καταργήσαντα ταύτην,* ἀπό παιδός ἀγαπήσας, ὦ Πάτερ,* ἐκ τῆς Ῥωσίας εἰς Ἄθω

κατέπαυσας,* ἐν ᾧ καθήρας σήν ψυχήν,* είς τήν ἀγάπην Αὐτοῦ ἐστερεώσω.

Ἱλάσθητι* ἀνεβόας, ὦ Πάτερ,* πρός τόν Θεόν ἐπί τούς πταίοντας ὅλως·* μετανοίας δέ τοῖς ἔργοις Κυρίῳ* εὐαρεστῆσαι σπεύσατε ἔλεγες·* ὑπάρχει γάρ ὁ Ἀγαθός,* ὁ ἐκ Παρθένου τεχθείς, καί Φιλάνθρωπος.

Δόξα.

Εὔχου* ὑπέρ τιμώντων σήν μνήμην·* μή ἐπιλάθου τῷ Κυρίῳ πρεσβεύειν,* ὡς παρρησίαν κεκτήμενος, Πάτερ,* νῦν ἐν τῷ πόλῳ χορεύων καί ἔλεος* δυνάμενος ταῖς σαῖς λιταῖς* ἐπομβρίσαι ἡμῖν τοῖς ἱκέταις σου.

Καί νῦν. Θεοτοκίον.

Νενίκημαι,* ὑπό παθῶν τῶν τοῦ βίου* τῶν ἀκαθάρτων, ἅ μολύνουσι, Μῆτερ,* τήν ἐν ἐμοί τοῦ Κυρίου εἰκόνα·* παρηγορίας πηγή παρηγόρησον,* τόν δάκρυσι καί στεναγμοῖς* κατατρυχόμενον, Κόρη Πανύμνητε.

Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ Ὑπερμάχῳ.

Ἀριστοκλέους οἱ πιστοί τήν μνήμην σήμερον* ᾠδαῖς εὐήχοις καί εὐμόλποις μακαρίσωμεν,* τοῦ μεγάλου Γέροντος πόλεως τῆς Μόσχας,* τοῦ ἐκ τοῦ Ἄθωνος ἐκεῖσε διαλάμψαντος* καί λαοῖς Χριστόν τόν Κύριον κηρύξαντος·* πρός ὅν εἴπωμεν,* χαίροις Πάτερ θεόσοφε.

Ὁ Οἶκος.

Ἀστήρ ἀνεφάνης ἐκ Ῥωσίας, θεόφρον Ἀρίστοκλες,* τῆς Μόσχας ὁ μέγας Γέρων·* ἐκεῖθεν δέ ἀνατείλας τόν κόσμον αὐγάζεις * καί πάντας λυτροῦσαι τῶν παθῶν* καί τῇ πίστει στηρίζεις ἅπαντας.* Ἐν τῷ Ἄθωνι γάρ ἀσκήσας,* ἐν τῷ τοῦ Ἀναργύρου Παντελεήμονος σεμνείῳ,* ἀρετήν κτησάμενος συνέκδημον,* ὡς ἀπό τοῦ Θεοῦ ἠλεημένος ποικίλοις χαρίσμασι,* τόν λαόν Αὐτοῦ εὐόρκως διηκόνησας,* παρ' οὗ ἀκούεις·* χαίροις Πάτερ θεόσοφε.

Συναξάριον.

Τῇ 24η τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ὁσίου Ἀριστοκλέους τοῦ Ἀθωνίτου, Μεγάλου Γέροντος τῆς Μόσχας (+ 1918).

Στίχοι·

*Χαίρων οὐρανός Ἀριστοκλέους ψυχήν ἐδέξατο,*

*διό ψαλμικῶς αὐτόν ἐν ὕμνοις γεραίρομεν.*

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδή ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἀσθενειῶν καί νόσων* ἰατρός ἐδόθης,* Πάτερ, τῷ κόσμῳ· διό θεράπευσον* τραύματα καί πληγάς τε* ἡμῶν τάς ἀοράτους,* ὅπως βοῶμεν τῷ

Κτίσαντι·* ὁ τῶν Πατέρων ἡμῶν* Θεός, εὐλογητός εἶ.

Ὄλβος ἡ σή ἐφάνη* βιοτή τῷ Θεῷ σου,* θεῖε Ἀρίστοκλες·* διό Μόσχας πέλεις κλέος·* ἐν σοί γάρ ἐγκαυχᾶται* τῷ Παντεπόπτῃ κραυγάζουσα·* ὁ τῶν Πατέρων ἡμῶν* Θεός, εὐλογητός εἶ.

Δόξα.

Ὅλως ἡγιασμένος,* ὅλως κεκαθαρμένος,* ὅλως οὐράνιος,* ἐπώφθης διά βίου* κἄν ἄνθρωπος ὑπάρχων* βίον Ἀγγέλων ἐζήλωσας,* καί γέγονας τοῖς ἐν τῇ γῇ* θείων Ἀγγέλων εἰκών τε καί πρότυπον.

Καί νῦν. Θεοτοκίον.

Ὦ Μῆτερ Θεοτόκε,*
ἐπαίρουσα μή παύῃς* χεῖρας Υἱῷ Σου, Ἁγνή·*
ἀνάψυξον, Παρθένε,* ψυχάς πεπυρωμένας,* τῶν μετά πόθου ψαλλόντων Σοι·*
χαῖρε οὐράνιε λιμήν* πάντων τῶν σωζομένων.

Ὠδή η΄. Τόν Βασιλέα.

Θήκη λειψάνων* σεπτοῦ Ἀριστοκλέους,* ἰατρεῖον πρόκειται τοῖς πᾶσι* τοῖς αὐτοῦ
τιμῶσι* τήν θειωτάτην μνήμην.

Ἁγίων, Πάτερ,* ἐμιμήσω τόν βίον·* διό χαρίτων πλησθείς,παρά Κυρίου,* προστάτης ἡμῶν πάντων* καί ἔφορος νῦν πέλεις.

Δόξα.

Ἤδη πληροῦντες* Ἀριστοκλέους ὕμνον,* ἐλπίζομεν τυχεῖν αὐτοῦ πρεσβείαις,* γνησίᾳ μετανοίᾳ,* τοῦ μακαρίου τέλους.

Καὶ νῦν. Θεοτοκίον.

Ὦ φῶς μοι δίδου,* ψυχῆς ἀορασίαν,* φωταγωγοῦσα Σύ, φωτός ἀκτίστου Μῆτερ,* τοῦ δεομένου* τυχεῖν τοῦ Σοῦ ἐλέους.

Ὠδή θ΄. Κυρίως Θεοτόκον.

Νικῆσαι διαβόλου* δόκανα καί παγίδας* τῇ σῇ πρεσβείᾳ αἰτούμεθα, πάνσοφε,* οἱ τήν σήν μνήμην τιμῶντες,* Πατέρων σύσκηνε.

Ἴδε μου τήν πτωχείαν*
τοῦ ταῦτα στιχουργοῦντος* καί σαῖς πρεσβείαις π ρός Κύριον, Ἅγιε,* ἐμπλούτισον ἐμήν ψυχήν* Πνεύματος χάρισι.

Δόξα.

Ὁδόν τῆς μετανοίας* ἀξίωσον βαδῖσαι*
καί τό χειρόγραφον, μάκαρ, διάρρηξον* τῆς ἁμαρτίας, τοῦ τήν σὴν μνήμην κηρύττοντος.

Καὶ νῦν. Θεοτοκίον.

Σωτῆραν ἡ τεκοῦσα,* Παρθένε Θεοτόκε,* Ἀριστοκλῇ ὁμοῦ Αὐτῷ ἱκετεύσατε,* ἵνα δωρήσηται ἡμῖν* πταισμάτων ἄφεσιν.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Χριστός τήν σήν ἐδέξατο* ἄσκησιν ὡς θυμίαμα,* Ἀρίστοκλες· διό σε* καί ἀντιδόξασεν· ὅθεν* ἡμεῖς καθικετεύομεν*
μή παύῃς ταῖς πρεσβείαις σου,*
ἁμαρτημάτων τήν λῦσιν* διδόναι Κύριος πᾶσι* τοῖς ἐκτελοῦσι τήν μνήμην.

Δόξα. Καί νῦν. Θεοτοκίον.

Χαράν τήν ἀνεκλάλητον,* Πάναγνε ἡ κυήσασα,* χαρᾶς ἡμᾶς αἰωνίου,* μετόχους ποίησον πάντας,* Παρθένε θεονύμφευτε,* ἡ σκέπη, τό κραταίωμα* τῶν εὐσεβῶς βοώντων Σοι·* μή ἐπιλάθῃ Σῶν δούλων,* Θεοκυῆτορ Μαρία.

Εἰς τούς Αἴνους ἱστῶμεν στίχους δ΄ καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.

Πνεύματος θείου τήν χάριν* λαβών, θειότατε,* ἀσκήσει σου καθεῖλες* τόν ἀρχέκακον ὄφιν·*
ἀνθρώπων δέ ἐδείχθης πρός οὐρανόν* ὁδοδείκτης, Ἀρίστοκλες·* διό τήν μνήμην σου ᾄσμασιν καί ᾠδαῖς* ἀναμέλποντες τιμῶμεν σου.

Ὕμνον σοί ἄδουσι, Πάτερ,* Ὄρη Οὐράλια,* καί Μόσχα χαρμοσύνως* τήν ἀρετήν σου κηρύττει·* καί πᾶσα Ἐκκλησία ἡ Ῥωσική* σέ μακαρίζει, Ἀρίστοκλες,* ὡς μυστολέκτην Κυρίου καί τῶν πιστῶν* ποδηγέτην τόν θεόφθογγον.

Ῥωσία σύμπασα χαίρει* ἐπί σοί, Ἅγιε,* ὡς μήτηρ καυχωμένη* ἐπί σῇ θείᾳ δόξῃ·* Μόσχας δέ ἡ πόλις ἡ ἱερά* λαμπρούς ἀγῶνας κηρύττει σου·* τούτων ὑπάρχεις γάρ δόξα καί ἡ τιμή·* ἡμῶν πρέσβυς δέ πρός τόν Κύριον.

Ἡμῶν τήν χώραν, ὦ Πάτερ,* τήν κινδυνεύουσαν,* μή ἐπιλάθου θρόνῳ* τοῦ Θεοῦ ἐνωπίῳ* κείμενος τοῖς γονάτοις καί πατρικῶς* σαῖς εὐχαῖς περιφρούρησον·* ἵνα κηρύττῃ σήν δόξαν καί τήν τιμήν* ἥν Χριστός σοί ἐπιβράβευσεν.

Δόξα. Ἦχος πλ. α'.

Ἐκ τῆς Ῥωσίας ὡς ἄνθος εὐῶδες* τῇ Ἐκκλησίᾳ προσεφέρθης,* Ἀρίστοκλες μακάριε·* τῆς τε ἀλήκτου ζωῆς τόν στέφανον δεξάμενος,* ὡς βραβεῖον τῶν ἀγώνων σου,* νῦν ἐν οὐρανῷ μετά τῶν Ἁγίων συναγάλλει Πατέρων* ὡς ὄντως Ἀσκητής ὁσιώτατος·* διό χαριστήριον ᾠδήν σοί ἄδοντες*

ἐν κατανύξει βοῶμεν·* μή ἐπιλάθῃ, Ἅγιε, καί τῆς ἡμῶν πατρίδος,* ἀλλ' ἐνθέρμως πρέσβευε τῷ Κυρίῳ,* ῥυσθῆναι αὐτήν τῆς παρούσης περιστάσεως.

Καί νῦν. Θεοτοκίον.

Μακαρίζομέν Σε,* Θεοτόκε Παρθένε,* καί δοξάζομέν Σε* οἱ πιστοί κατά χρέος,* τήν πόλιν τήν ἄσειστον,* τό τεῖχος τό ἄρρηκτον,* τήν ἀρραγῆ προστασίαν* καί καταφυγήν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη καί Ἀπόλυσις.

Μεγαλυνάριον.

Τήν πόλιν σου σκέπε τήν ἱεράν* Μόσχας, τήν μεγίστην* ἐν ταῖς πόλεσι τοῦ Βορρᾶ,* ἐν ᾗ τῶν σῶν λειψάνων ἡ λάρνακα ὑπάρχει* πιστῶν είς εὐλογίαν,* ψυχῶν ἀνάψυξιν.

Στίχοι.

*Ἄτεχνον ὕμνον Ἀρίστοκλες προσδέχου,*

*ὅν εὐλαβῶς ἐκ πόθου, τιμῆς τε καί ἀγάπης,*

*Ἀντώνιος προσέφερεν, ὁ τάλας καί παντλήμων.*

*Ἀντίδωρον δέ αὐτῷ μέγα ἀντί κόπου, ὅσου,*

*παράσχου τήν τέχνην μαθεῖν τῆς μετανοίας.*

Ἕτεροι.

*Ἀριστοκλεῖ τῷ Γέροντι, ἀγνώστῳ ἡμῖν ἕως ἄρτι,*

*ὕμνον πενιχρόν συνέθεσεν ὁ τάλας*

*Ἀντώνιος, ἐπεί ἀπότμημα λειψάνων*

*ἐδόθη ἡμῖν αὐτοῦ, ψυχῆς εἰς εὐλογίαν.*

